# ΔΟΞΟΛΟΓΙΑ
# ΕΠΙ ΤῊ ΠΡΩΤῊ ΤΟΥ ΝΕΟΥ ΕΤΟΥΣ

(10)

Ὁ Διάκονος·

Εὐλόγησον, Δέσποτα.

Ὁ Ἱερεύς·

Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ἀπολυτίκιον τῆς Ἑορτῆς Ἦχος α΄ πα

Προσόμοιον «Τοῦ λίθου σφραγισθέντος»

Ὁ Χορός·






Ἀπολυτίκιον τοῦ Ἁγίου Βασιλείου Ἦχος ὁ αὐτός.



Κοντάκιον τῆς Ἰνδίκτου προσόμοιον: «Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ»




Εἶτα Στίχους ἐκ τῆς Δοξολογίας.

## ΗΧΟΣ Γα




2)
(Γ)
Υ μνουμεν σε ευ λο γου μεν σε προ
σχυ νου μεν σε δο ξο λο γου με εν σε ευ χα ρι
στου μεν σοι δι α την με γα α λην σου δο ο
ξαν
3)
Ευ λό γη σον τον στε φα νο ν του
ε νι αυ του της Χρη στο τη το
ς σου Κυ ρι ε
4)
Προσ δε ξαι την δε η σιν η μων ο χα θη με νος
εν δε ξι α του Πα τρος χαι ε λε η σον η μας
5)
Ευ λο γη τος ει Κυ ρι ε ο Θε ος των Πα
τε ρων η μων χαι αι νε τον χαι δε δο ξα




Ὁ Διάκονος·

1) Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ὁ Χορός·



Ὁ Διάκονος·

2) Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν.

Χορός:




3) Ὁ Διάκονος:

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Χορός:




4) Ὁ Διάκονος: Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου Στρατοῦ, καὶ ὑπὲρ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσιν.

Χορός:




5) Ὁ Διάκονος: Ἔτι δεόμεθα ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, καὶ ὑπὲρ τοῦ εὐλογηθῆναι τὸν νέον ἐνιαυτὸν τῆς χρηστότητος τοῦ Κυρίου.

Χορός: Κύριε ἐλέησον (3x) ὡς ἄνω

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πόλιν (ἢ τὴν χώραν, ἢ τὴν κώμην, ἢ τὴν νῆσον) ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν, ἀπὸ λιμοῦ, λοιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου· ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλλακτον γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καὶ διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον τὴν καθ' ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Χορός· Κύριε, ἐλέησον· κατ' ἐπανάληψιν (χύμα ὡς εἴθισται) πραείᾳ τῇ φωνῇ.

⊗ Τούτων λεγομένων, ἑκάτερος τῶν χορῶν ψάλλει εἰς γ' τό, Κύριε, ἐλέησον, δωδεκάκις. (Καὶ ἀπὸ τῶν λέξεων "λοιμοῦ, σεισμοῦ..." εὐλαβῶς καὶ πραείᾳ τῇ φωνῇ !)




Ὁ Διάκονος·

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν ἡμῶν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς.

Ὁ Χορός· Ἀμήν.

Ὁ Διάκονος·

Τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Χορός· Κύριε, ἐλέησον.

Ὁ Ἱερεὺς τὴν Εὐχὴν ταύτην·

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ καιροὺς καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, ὁ ἄναρχος καὶ ἀτελεύτητος καὶ ἐπέκεινα παντὸς χρόνου νοούμενός τε καὶ ὑπάρχων, ὁ πάσης ἐκτὸς μεταβολῆς τε τῶν ὄντων καὶ ἀλλοιώσεως, ὁ τὸν πάντα χρόνον τόν τε γεγονότα τόν τε ὄντα καὶ τὸν ἐσόμενον πληρῶν, ὁ ἐν τῇ ἀφάτῳ σου μακροθυμίᾳ καταξιώσας ἡμᾶς εἰς νέον ἐνιαυτὸν εἰσελθεῖν· αὐτὸς πανάγαθε Δέσποτα, τὴν εἴσοδον ταύτην τῇ θείᾳ σου χάριτι εὐλόγησον· ὄμβρους εἰρηνικοὺς πρὸς καρποφορίαν τῇ γῇ δώρησαι· τοὺς ἀέρας ὑγιεινοὺς καὶ εὐκράτους ἀνθρώποις τε καὶ κτήνεσι κατασκεύασον· δὸς ἡμῖν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ βεβαίᾳ τὸν κύκλον αὐτοῦ διελθεῖν, τῷ στεφάνῳ τῆς δόξης τῶν ἀρετῶν κοσμουμένους, τῷ φωτὶ τῶν ἐντολῶν σου εὐσχημόνως ὡς ἐν ἡμέρᾳ καλῶς ὁδεύοντας. Τὴν ἁγίαν ἡμῶν Ἐκκλησίαν καλῶς διαφύλαξον· τὸ εὐσεβὲς ἡμῶν Ἔθνος τῇ δυνάμει σου κραταίωσον· τοὺς Ἄρχοντας ἡμῶν καὶ τὸν Στρατὸν τῇ κραταιᾷ σου χειρὶ στερέωσον καὶ κράτυνον. Τὴν νεότητα παιδαγώγησον, τὸ γῆρας περικράτησον, τοὺς ἐσκορπισμένους ἐπισυνάγαγε, τοὺς πεπλανημένους ἐπανάγαγε καὶ σύναψον τῇ ἁγίᾳ σου Ἐκκλησίᾳ. Ἐλθέτω δὴ ἐφ' ἡμᾶς ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων, βασιλεία χρηστότητος, δικαιοσύνης, καὶ εἰρήνης, καὶ ἀξίωσον ἡμᾶς ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ ὑμνεῖν σε καὶ δοξάζειν τὸν ἐν Τριάδι ἄναρχον καὶ αἰώνιον Θεὸν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός· Ἀμήν.

Ὁ Ἱερεὺς τὴν Ἀπόλυσιν·

Δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος, διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν...

Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν,...

Ὁ Χορός· Ἀμήν.